nes quædam illarum. Ac ciuilitates quidem, regnum, & optimi potentia, & tertia quæ à censibus existit: quam censipotentiam vocare accommodatum videtur, sed plerique rempublicam eam appellare cõsueuerunt, harum optima regnum, pessima censipotentia est. Ac regni quidem transgressio tyrannis est. ambo enim vnius imperio constant: plurimum tamen differunt. Tyrannus enim suam, rex subditorum vtilitatem spectat. non enim est rex nisi ex se ipse sufficiat, omnibúsque bonis excellat: at qui talis est, nulla re indiget, quocirca vtilitatem non sibi, sed subditis procurabit. nam qui eiusmodi non est, sortitius potius est, quàm rex. Tyrannis verò econtrariò huic, suum ipsius bonum persequitur, clariúsque eam esse pessimam, manifestum est. id enim est pessimũ, quod optimo est contrarium: è regno autem in tyrannidem transitus fit: tyrannis enim principatus vnius prauitas est, & prauus rex, tyrannus euadit. Ex optimi potentia autem in paucipotentiam fit mutatio, vitio principum qui præter dignitatem res ciuitatis distribuunt, & omnia, aut pleraque bona sibiipsis reseruant, & magistratus semper iisdem demandant, diuitias plurimi facientes, vnde pauci atque iidem praui loco optimorum dominantur. Sed ex censipotentia in populipotentiam. hæ enim finitimæ inter se sunt. multitudinis enim & censipotentia esse consueuit, & æquales omnes qui in censu sunt. At populipotentia, quippe cùm paulum Reipublicæ speciem transgrediatur, minimè praua est. Ac respublicæ quidem seu ciuilitates in hunc maximè modum immutantur. ita enim ad minimum & facillimè transeunt. Quarum similitudines & quasi exempla sumere etiam in familiis quispiam posset. patris enim erga filios societas figuram regni habet: quippe cum patri cura filiorum sit, vnde etiam Homerus Iouem patrem appellat eò quòd regnum paternum imperium esse debet. At apud Persas patris imperium tyrannicum est, qui vt seruis filiis suis vtuntur. Tyrannicum item est heri erga seruos. in eo enim id quod herovtile est, agitur. Sed hoc esse rectum videtur. Persicum illud prauum, atque errans. eorum enim qui sunt diuersi, diuersa quoque imperia sunt. Viri & vxoris optimatum potestati simile apparet, pro dignitate siquidem imperat vir, ac circa ea circa quæ virum decet: quæ autem vxori conueniunt, ea illi attribuit: nam si omnium dominus esse velit vir, in

A αἱ μὲν πολιτεῖαι, βασιλεία τε καὶ ἀριστοκρατία· τρίτη δ', ἡ ἀπὸ τιμημάτων, ἣν τιμοκρατικὴν λέγειν οἰκεῖον φαίνεται· πολιτείαν δ' αὐτὴν εἰώθασιν οἱ πλεῖστοι καλεῖν. τούτων δὲ, βελτίστη μὲν, ἡ βασιλεία· χειρίστη δ', ἡ τιμοκρατία. παρέκβασις δὲ, βασιλείας μὲν, τυραννίς· ἄμφω γὰρ μοναρχίαι· διαφέρουσι δὲ πλεῖστον· ὁ μὲν γὰρ τύραννος, τὸ ἑαυτῷ συμφέρον σκοπεῖ· ὁ δὲ βασιλεὺς, τὸ τῶν ἀρχομένων.
B οὐ γάρ ἐστι βασιλεὺς, ὁ μὴ αὐτάρκης, καὶ πᾶσι τοῖς ἀγαθοῖς ὑπερέχων· ὁ δὲ τοιοῦτος, οὐδενὸς προσδεῖται. τὰ ὠφέλιμα οὖν, αὑτῷ μὲν οὐκ ἂν σκοποίη, τοῖς δὲ ἀρχομένοις· ὁ γὰρ μὴ τοιοῦτος, κληρωτὸς ἄν τις εἴη βασιλεύς· ἡ δὲ τυραννὶς, ἐξ ἐναντίας ταύτῃ· τὸ γὰρ ἑαυτῷ ἀγαθὸν διώκει· καὶ φανερώτερον ἐπὶ ταύτης, ὅτι χειρίστη· κάκιστον γὰρ τὸ ἐναντίον τῷ βελτίστῳ.
C μεταβαίνει δὲ, ἐκ βασιλείας εἰς τυραννίδα· φαυλότης γάρ ἐστι μοναρχίας ἡ τυραννίς· ὁ δὲ μοχθηρὸς βασιλεὺς, τύραννος γίνεται. ἐξ ἀριστοκρατίας δὲ, εἰς ὀλιγαρχίαν, κακίᾳ τῶν ἀρχόντων, οἳ νέμουσι τὰ τῆς πόλεως παρὰ τὴν ἀξίαν, καὶ πάντα, ἢ τὰ πλεῖστα τῶν ἀγαθῶν ἑαυτοῖς, καὶ τὰς ἀρχὰς ἀεὶ τοῖς αὐτοῖς, περὶ πλείστου ποιούμενοι τὸ πλουτεῖν·
D ὀλίγοι δὴ ἄρχουσι καὶ μοχθηροὶ ἀντὶ τῶν ἐπιεικεστάτων. ἐκ δὲ δὴ τιμοκρατίας εἰς δημοκρατίαν· σύνοροι γάρ εἰσιν αὗται· πλήθους γὰρ βούλεται καὶ ἡ τιμοκρατία εἶναι, καὶ ἴσοι πάντες οἱ ἐν τῷ τιμήματι· ἥκιστα δὲ μοχθηρόν ἐστιν ἡ δημοκρατία· ἐπὶ μικρὸν γὰρ καὶ παρεκβαίνει τὸ τῆς πολιτείας εἶδος. μεταβάλλουσι μὲν οὖν μάλισθ' οὕτως αἱ πολιτεῖαι. ἐλάχιστον γὰρ οὕτω καὶ ῥᾷστα μεταβαίνουσιν.
E Ὁμοιώματα δ' αὐτῶν καὶ οἷον παραδείγματα λάβοι τις ἂν καὶ ἐν ταῖς οἰκίαις· ἡ μὲν γὰρ πατρὸς πρὸς υἱεῖς κοινωνία, βασιλείας ἔχει σχῆμα· τῶν τέκνων γὰρ τῷ πατρὶ μέλει· ἐντεῦθεν δὲ καὶ Ὅμηρος τὸν Δία πατέρα προσαγορεύει· πατρικὴ γὰρ ἀρχὴ βούλεται ἡ βασιλεία εἶναι. ἐν Πέρσαις δὲ ἡ τοῦ πατρὸς, τυραννική· χρῶνται γὰρ ὡς δούλοις, τοῖς
F υἱέσι. τυραννικὴ δὲ καὶ ἡ δεσπότου πρὸς δούλους· τὸ γὰρ τοῦ δεσπότου συμφέρον, ἐν αὐτῇ πράττεται. αὕτη μὲν οὖν, ὀρθὴ φαίνεται· ἡ Περσικὴ δὲ, ἡμαρτημένη· τῶν διαφερόντων γὰρ, αἱ ἀρχαὶ διάφοροι. ἀνδρὸς δὲ καὶ γυναικὸς, ἀριστοκρατικὴ φαίνεται. κατ' ἀξίαν γὰρ ὁ ἀνὴρ ἄρχει,